# 52. PARABLES BY THE SEA (Matt-Mark Identical)

| Matt 13:1-9 | Mk 4:1-9 |
| --- | --- |
| Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν | Καὶ πάλιν ἤρξατο |
| ὁ Ἰησοῦς τῆς οἰκίας | |
| ἐκάθητο παρὰ τὴν θάλασσαν· | διδάσκειν παρὰ τὴν θάλασσαν. |
| 2 καὶ συνήχθησαν | καὶ συνάγεται |
| πρὸς αὐτὸν | πρὸς αὐτὸν |
| ὄχλοι πολλοί, | ὄχλος πλεῖστος, |
| | |
| ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα | ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα |
| καθῆσθαι, | καθῆσθαι ἐν τῇ θαλάσσῃ, |
| καὶ πᾶς ὁ ὄχλος | καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν |
| ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. | θάλασσαν ἐπὶ τῆς γῆς ἦσαν. |
| 3 καὶ ἐλάλησεν αὐτοῖς | 2 καὶ ἐδίδασκεν αὐτοὺς |
| πολλὰ ἐν παραβολαῖς | ἐν παραβολαῖς πολλά, |
| λέγων, | καὶ ἔλεγεν αὐτοῖς |
| | ἐν τῇ διδαχῇ αὐτοῦ, 3 Ἀκούετε. |
| Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων | ἰδοὺ ἐξῆλθεν ὁ σπείρων |
| τοῦ σπείρειν. | σπεῖραι. |
| 4 καὶ ἐν τῷ σπείρειν αὐτὸν | 4 καὶ ἐγένετο ἐν τῷ σπείρειν |
| ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, | ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, |
| | |
| καὶ ἐλθόντα τὰ πετεινὰ | καὶ ἦλθεν τὰ πετεινὰ |
| κατέφαγεν αὐτά. | καὶ κατέφαγεν αὐτό. |
| 5 ἄλλα δὲ ἔπεσεν | 5 καὶ ἄλλο ἔπεσεν |
| ἐπὶ τὰ πετρώδη | ἐπὶ τὸ πετρῶδες |
| ὅπου οὐκ εἶχεν γῆν πολλήν, | ὅπου οὐκ εἶχεν γῆν πολλήν, |
| καὶ εὐθέως ἐξανέτειλεν | καὶ εὐθὺς ἐξανέτειλεν |
| διὰ τὸ μὴ ἔχειν βάθος γῆς. | διὰ τὸ μὴ ἔχειν βάθος γῆς· |
| 6 ἡλίου δὲ ἀνατείλαντος | 6 καὶ ὅτε ἀνέτειλεν ὁ ἥλιος |
| ἐκαυματίσθη | ἐκαυματίσθη, |
| | |
| καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν | καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν |
| ἐξηράνθη. | ἐξηράνθη. |
| 7 ἄλλα δὲ ἔπεσεν | 7 καὶ ἄλλο ἔπεσεν |
| ἐπὶ τὰς ἀκάνθας, | εἰς τὰς ἀκάνθας, |
| καὶ ἀνέβησαν αἱ ἄκανθαι | καὶ ἀνέβησαν αἱ ἄκανθαι |
| καὶ ἔπνιξαν αὐτά. | καὶ συνέπνιξαν αὐτό, |
| | καὶ καρπὸν οὐκ ἔδωκεν. |
| 8 ἄλλα δὲ ἔπεσεν | 8 καὶ ἄλλα ἔπεσεν |

| Matt 13:1-9 | Mk 4:1-9 |
| --- | --- |
| ἐπὶ τὴν γῆν τὴν καλὴν | εἰς τὴν γῆν τὴν καλήν, |
| καὶ ἐδίδου καρπόν, | καὶ ἐδίδου καρπὸν |
| | ἀναβαίνοντα καὶ αὐξανόμενα, |
| | καὶ ἔφερεν ἓν τριάκοντα καὶ ἓν ἑξήκοντα |
| ὃ μὲν ἑκατόν, | καὶ ἓν ἑκατόν. |
| ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. | |
| | 9 καὶ ἔλεγεν, |
| 9 ὁ ἔχων ὦτα ἀκουέτω | Ὃς ἔχει ὦτα ἀκούειν ἀκουέτω. |

162 words out of 280 words = 58%